**In Aphthonii Progymnasmata Commentarii Innominati autoris.**

**Syriani. Sopatri. Marcellini Commentarii in Hermogenis Rhetorica.**



**In Aphthonii Progymnasmata Commentarii**
**Innominati autoris.**

**Syriani. Sopatri. Marcellini Commentarii in**
**Hermogenis Rhetorica.**



Aldus Pius Manutius Romanus Marco Musuro Cretensi in Vrbe Pata
uio græcas literas profitenti .S. P. D.

Si quisquam est, cui dicandi sint libri græci excusi cura nostra Musure doctissime, is tu es, nam non solum profuisti semper, & prodes assidue huic nostræ duræ, prouinciæ sed profiteris etiam in clarissimo gymnasio Patauino græcas literas, tanta frequentia studiosorum literarum græcarum, ut mirentur omnes plurimum. Vnde paucis admodū annis multi te docente periti græcæ linguæ euaserunt. Quam quidem rem & latinis literis, quæ a græcis fluxerunt, & ipsis liberalib. disciplinis, quæ a græcis auctorib. traditæ sunt magnum adiumentum breui allaturam esse uel hinc colligi potest, quod ætate nostra iam fere omnes spreta barbarie non minus græcæ, q̃ latine discere aggrediuntur nō immemores Horatiani illius, Vos exemplaria græca nocturna uersate manu, uersate diurna, necnon & illius in officiis M. Tullii ad Marcum filium, Ego autem ad meam utilitatem semper cum græcis latina coniunxi. neq; id in philosophia solum, sed etiam in dicendi exercitatione feci. Idem tibi censeo faciendum, uti par sis in utriusque orationis facultate. Id quod tu præter cæteros facis. Marce Musure tanq̃ ad te Marcum filium ille scripserit, nam tanta felicitate cum latinis græca coniungis, ut non solum utriusque linguæ euaseris peritissimus, sed iam doctissimus quoq; philosophus nec qualem barbari, sed qualem docti solent appellare philosophum. Dedicamus igitur tibi hos Syriani Sopatri ac Marcellini in Hermogenis Rhetorica & Aphtonii progymnasmata commentarios de quorū doctrina, ac copia potuissemus non nihil scribere, ut ad hortaremur studiosos ad studendum more nostro, si fuisset nobis quietus animus. Nam hoc tempore dicere illud uere possumus.

Vicinæ ruptis inter se legib. urbes
Arma ferunt, sæuit toto Mars impius orbe.

Vale. Venetiis duodecimo Calendas
Iunias. M. D. IX.

ΠΡΟΛΕΓΟΜΕΝΑ εἰς τὰ τοῦ ἀφθονίου, τῆς ῥητορικῆς προγυμνάσματα.

τ

ι ἐστι ῥήτωρ ἀνὴρ πολιτικῶν πραγμάτων ἐπιστήμων. καὶ ἐφ' ἑκάτερα δὲ ἐν δόξων κατασκευαστής. πόσα ἔργα τοῦ ῥήτορος. δ'. τὸ νοῆσαι. τὸ εὑρεῖν. τὸ διαθέσθαι τὰ εὑρημένα. καὶ τὸ ὑποκρίνασθαι. τῆς μὲν νοήσεως. τὸ νοῆσαι ῥητορικὸν πρόβλημα. ἢ μή. καὶ εἰ συνίσταται. ἢ, εἰ καὶ ὑπὸ ποῖον εἶδος. καὶ ποίαν στάσιν ἀνάγεται. τῆς δὲ εὑρέσεως. τὸ εὑρεῖν τὰ εἰς τὰ κεφάλαια ἐπιχειρήματα. πρὸς τῇ τῶν κεφαλαίων εὑρέσει, ἔτι καὶ τοὺς ἐμπίπτοντας τόπους. τῆς δὲ διαθέσεως. τὸ διαθέσθαι τὴν τάξιν. καὶ τὴν οἰκονομίαν τῶν εὑρεθέντων κεφαλαίων. καὶ ἐπιχειρημάτων. τῆς δὲ ὑποκρίσεως. ἵνα καὶ τῷ σχήματι καὶ τῇ φωνῇ. ὡς ἂν τραγῳδὸς ἄριστος. τοῖς λεγομένοις σχηματίζηται. τί ἐστι ῥητορική. δύναμις τεχνικὴ πιθανοῦ λόγου ἐν πράγματι πολιτικῷ, τέλος ἔχουσα τὸ εὖ λέγειν. πόσα εἴδη τῆς ῥητορικῆς. γ'. πανηγυρικόν. δικανικόν. συμβουλευτικόν. εἰς πόσα διαιρεῖται τὸ πανηγυρικόν. εἰς δύο. εἰς ἐγκώμιον καὶ ψόγον. τέλος δὲ αὐτοῦ, τὸ καλόν. εἰς πόσα διαιρεῖται τὸ δικανικόν. εἰς κατηγορίαν καὶ ἀπολογίαν, τέλος δὲ αὐτοῦ, τὸ δίκαιον. εἰς πόσα διαιρεῖται τὸ συμβουλευτικόν. εἰς προτροπὴν, καὶ ἀποτροπήν. τέλος δὲ αὐτοῦ, τὸ συμφέρον. πρὸς πόσα χρήσιμος ἡ ῥητορική. πρὸς τέσσαρα. πρῶτον μὲν πρὸς τὴν τῶν ἀληθῶν καὶ δικαίων ἐν τοῖς πολιτικοῖς πράγμασιν, ἐπίγνωσιν. δεύτερον δὲ, τὸ διὰ τῶν κοινῶν καὶ πιθανῶν λόγων πείθειν τοὺς πολλούς. ἀλλὰ μὴ διὰ τῶν ἐπιστημονικῶν. ὧν ἐπαΐειν παντελῶς ἀδυνατοῦσι. τρίτον τὸ πρὸς τὰ ἀντικείμενα δύνασθαι διὰ λόγου βοηθεῖν ἑαυτοῖς. τέταρτον. τὸ πᾶσαν ἐν λόγοις εὐπορίαν. ἥτις πρὸς ἅπασαν ἐπιστήμην χρήσιμος, ἐκ ταύτης ἡμῖν προσγίνεσθαι. πόσα μέρη τοῦ πολιτικοῦ λόγου. ε'. προοίμιον. διηγήσεις. ἀντιθέσεις. λύσεις. ἐπίλογοι. τί ἐστι προοίμιον. λόγος παρασκευάζων τὸν ἀκροατὴν. καὶ οἰκείως διατιθεὶς. πρὸς τὸ παραδέξασθαι. ἢ ἀποθέσθαι τόδε τι πάθος τῆς ψυχῆς. τί ἐστι διήγησις τῶν ἐν τῇ ὑποθέσει πραγμάτων, ἔκθεσις. εἰς τὸ ὑπὲρ τοῦ λέγοντος μέρος ῥέπουσα. τί ἐστιν ἀντίθεσις ἡ τοῦ ἀπολογουμένου προσώπου ἔνστασις. ἢ τὸ ἐν ἡμῖν πιθανὸν διαλύουσα καὶ πρὸς εὐλογωτέραν ἔννοιαν τὸν ἀκροατὴν μετάγουσα. τί ἐστι λύσις. λόγος τὴν ἐκ τῆς ἐνστάσεως βλάβην ἀφαιρούμενος καὶ εἰς συγκατάθεσιν ἰέναι πείθων, τοῦ προκειμένου ζητήματα. τί ἐστι ἐπίλογος. λόγος ἤδη προειρημέναις ταῖς ἀποδείξεσιν ἐπαγόμενος. ἀθροισμὸν πραγμάτων καὶ ἠθῶν. καὶ παθῶν παρέχων. πόσοι τρόποι ῥητορικῆς ἀναγνώσεως. γ'. πρῶτος ὁ σύντονος. ὁ μάλιστα ἐν τοῖς δικανικοῖς πρωτεύων ἀγῶσι. κατὰ τὸ ὁμηρικόν. ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν. ὁ δὲ σύντονος οὗτος. φράζεσθαι θέλει μετὰ σφοδροῦ τοῦ πνεύματος. καὶ ζεούσης τῆς προθυμίας. τῆς πληγῆς τοῦ πνεύματος. θᾶττον κατὰ τὴν τραχεῖαν ἀρτηρίαν κτυπούσης. δεύτερος. ὁ ἀνειμένος. ὅς ἐστι διαλεκτικός τε καὶ διδασκαλικός. καὶ συμβουλευτικός. ὑπάρχει γὰρ ἐπιεικὴς. ἠρέμα τοῦ πνεύματος πνέοντος. καὶ μελίχραν τινὰ φωνὴν ἀποτελοῦντος κατὰ τὸ ὁμηρικόν. τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή. τρίτος ὁ μέσος. ὅς ἐστι νομικός τε καὶ ἐπιστολιμαῖος. καὶ ἐξηγητικός. φυσικώτατα δὲ πνεῖ τὸ πνεῦμα ἤδη τούτου καὶ οὔτε ἄγαν ὑπέρτηδε. ἵνα ἀποτελέσῃ τὸ σύντονον. οὔτε ἠρέμα βαδίζει. ἵνα ἀποτελέσῃ τὸ ἀνειμένον. ἀλλὰ μέσῃ τινὶ χρῆται ὁδῷ. καὶ νομικὸς μέν ἐστι, καθ' ὃν τρόπον τοὺς νόμους ἀναγινώσκομεν. ἐπιστολιμαῖος δὲ καθ' ὃν τὰς ἐπιστολάς. ἐξηγητικὸς δὲ, καθ' ὃν ἐξηγούμεθα τὰ μαθήματα. κατὰ πόσους τρόπους ὁ ῥήτωρ ἐξηγήσεται τὰ ῥητορικὰ μαθήματα. κατὰ ἑπτά. κατὰ ἀλληγορίαν. κατὰ προϋφήγησιν. κατὰ τέχνην. κατὰ ἱστορίαν. κατὰ σχῆμα. κατὰ ἰδέαν. κατὰ τὴν τοῦ κειμένου σαφήνειαν. κατὰ ἀλληγο-

λῆς ἐκυροῦτο. Ἐξ ἐναντιωμάτων. τοῦτό τινες οὕτως ἐνόησαν· οἱ νόμοι πάντες ἐξ ἐναντιωμάτων ἐτέθησαν· οἷον ἐτολμήθη φόνος· καὶ νόμοι κατὰ φονέων ἐγράφησαν· καὶ μοιχεία κατὰ μοιχῶν ὡσαύτως. ὁμοίως καὶ περὶ τῶν λοιπῶν. εὐφυὲς οὖν τὸ νόημα. οὐχ ἅπτεται δὲ τῆς ἀφθονίου ἐννοίας. ἐναντία γὰρ οὖσα τὸ δημοκρατίαν καὶ τυραννίδα βούλεται ἀποδεῖξαι, εἰ καὶ παραφθείρει τὴν τοῦ λόγου σύνταξιν, ὡς καὶ πολλαχοῦ ἐν τοῖς προλαβοῦσι, ἐνδεικτικὸν μὲν γὰρ ἴσως ἀκριβείας· λογογραφίαν δὲ ἐπιτυχὸν οὐδαμῶς. Ἀλλὰ χαλεπωτέραν. ἀντίθεσις καὶ αὕτη ἀπὸ τοῦ συμφέροντος. τὸ δὲ τοὐναντίον μὲν οὖν ἡ λύσις κατὰ τὸ βίαιον. Δεινὸν ὁ μοιχὸς. ἑτέρα ἀντίθεσις ἀπὸ τοῦ δικαίου. ἐνήλλαξε δὲ τὸ σχῆμα κατ' ἐρώτησιν τὸν λόγον προαγαγών. ἵνα δόξῃ λανθάνειν. καὶ πάλιν δὲ τὴν αὐτὴν λύσιν ἐπήγαγεν. ἣν καὶ πρότερον. Ὡς μοιχὸς ἀναιρούμενος. τοῦτο ἀπὸ τοῦ ἐκβησομένου φασίν.

Τ
Ε Λ Ο
Σ

# ΙΣΑΓΩΓΗ ΣΧΟΛΙΩΝ ΕΚ ΔΙΑΦΟΡΩΝ ΤΕΧΝΟΓΡΑΦΩΝ, ΕΙΣ ΤΑ ΠΡΟΛΕΓΟΜΕΝΑ ΤΗΣ ΕΡΜΟΓΕΝΟΥΣ ΡΗΤΟΡΙΚΗΣ.

δ

Δεῖ μὴ μόνον τοῖς τῆς φύσεως ἀγαθοῖς, ἀλλὰ καὶ οἰκείοις εὑρήμασι κατακοσμεῖσθαι τὸν ἄνθρωπον. τριῶν γὰρ οὐσῶν γνωστικῶν δυνάμεων ἐκ τῆς φύσεως ἐν τῇ ἡμετέρᾳ ψυχῇ, νοῦ, διανοίας, καὶ δόξης, δι' ἃς καὶ διενηνόχαμεν τῶν ἄλλων ἐμψύχων, φημὶ δὴ ζώων, καὶ φυτῶν, μὴ βουλομένη ἡ ἡμετέρα ψυχὴ τὰ δεύτερα φέρειν τῆς φύσεως, ἐφευρίσκει καὶ αὐτὴ τρία τινὰ πράγματα, ἐπιστήμην, τέχνην, ἐμπειρίαν, ἀναλογοῦντα ταῖς τρισὶν ἐκείναις γνωστικαῖς δυνάμεσι, καὶ ἡ μὲν ἐπιστήμη ἅτε δὴ ἄπταιστος οὖσα γνῶσις, ἀναλογεῖ τῷ νῷ. ἡ δὲ τέχνη πρὸς τὸ τῆς διανοίας κάλλος ἐξισοῦται. ὥσπερ γὰρ ἡ τέχνη πολλάκις τὴν τῆς ἀληθείας ὁδὸν βαδίζει, ὀλιγάκις δὲ τῆς ἀληθείας ἀποδιδράσκει τὴν αἴσθησιν, οὕτω καὶ ἡ διάνοια πολλάκις μὲν διανοουμένη τὴν τῶν πραγμάτων φύσιν, τῆς ἀληθείας οὐκ ἀφίσταται. ὀλιγάκις δὲ ταύτης ἀποφεύγει τὴν ἀκρίβειαν. Διάνοια δὲ εἴρηται ἀπὸ τοῦ διανοεῖν τινα ὁδόν. ἡ δὲ ἐμπειρία, ἀναλογεῖ τῇ δόξῃ. ὥσπερ γὰρ ἡ δόξα ἄνευ λόγου προέρχεται, οὕτω καὶ ἡ ἐμπειρία, αἰτίας τῶν ὑποκειμένων αὐτῇ πραγμάτων οὐκ ἐπίσταται. Εἰ δέ τις ἀπορήσειε, διὰ τί τρεῖς εἰσι γνωστικαὶ τῆς ψυχῆς δυνάμεις, καὶ μὴ πλείους, ἢ ἐλάττους, γινωσκέτω, ὅτι τὸ γινώσκων ἢ μετὰ λόγου γινώσκει, ἢ ἄνευ λόγου. καὶ εἰ μὲν μετὰ λόγου, γίνεται ἡ διάνοια, εἰ δὲ ἄνευ λόγου, ἡ μὲν κρείττων ἢ κατὰ λόγον ἐστὶν ὑπὲρ ἀπόδειξιν, καὶ γίνεται ὁ νοῦς, ἡ δὲ ἥττων ἢ κατὰ ἀπόδειξιν, καὶ γίνεται ἡ δόξα. καὶ γὰρ ἡ δόξα χείρων, ἢ κατὰ ἀπόδειξίν ἐστιν. ἡ γὰρ δόξα ὡς ἀγνοοῦσα, οὐκ ἀποδ

ὑπὲρ ἀπόδειξιν οὖσαν. ἐπειδὴ δὲ τὴν ὑφ' ἡμῶν ἐξηγουμένην ῥητορικὴν ἐπίκτητον οὖσαν οἱ μὲν πέρα τοῦ προσήκοντος ἐξαίροντες, ἐπιστήμην ὠνόμασαν. ἄλλοι δὲ τέχνην αὐτὴν ἀπεκάλεσαν. ἕτεροι δὲ κακίζοντες ἐμπειρίαν ἀπεφήναντο. Μάθωμεν τί ἐπιστήμη. τί τέχνη. τί ἐμπειρία. εἴπωμεν δὲ πρῶτον, τί ἐστιν ἐπιστήμη. καὶ τί ἴδιον αὐτῆς. ἐντεῦθεν, οἱ μὲν τὴν ἐπιστήμην ὁριζόμενοι, γνῶσιν ἄπταιστον οὐκ ἀπώκνησαν λέγειν. ἄλλοι δὲ γνῶσιν τῶν ὑποκειμένων αὐτῇ πραγμάτων καθὰ ἔχει φύσεως εἶπον. Ἀλλ' ἵνα μάθωμεν τί ἐστι γνῶσις τέσσαρά τινα κεφάλαια εἴπωμεν παρακείμενα ἀλλήλοις κατὰ τὴν φωνήν, διαφέροντα δὲ κατὰ τὸ σημαινόμενον. Εἰσὶ δὲ ταῦτα, γνωστικόν, γνωστόν, γνωστική, γνῶσις. Γνωστικόν ἐστιν αὐτὸ τὸ γινώσκων. ὡς ἐπὶ τοῦ ἀνθρώπου. ὁ γὰρ ἄνθρωπος γνωστικὸν ζῶόν ἐστι. γνωστὸν δέ ἐστιν αὐτὸ τὸ πρᾶγμα τὸ γινωσκόμενον. καὶ ἔχον φύσιν τοῦ γινώσκεσθαι, ἤτοι καταλαμβάνεσθαι. γνωστικὴ δὲ ὡς ἐπὶ τῆς ἡμετέρας διανοίας. γνῶσις δέ, αὐτὴ ἡ ἐνέργεια, ἤτοι γε ἀντίληψις. ἥ τις γε διαβαίνει καὶ διακονεῖ μεταξὺ τοῦ γινωσκομένου καὶ τοῦ γινώσκοντος. Σύνηθες δὲ ἦν τοῖς παλαιοῖς τὰς ἕξεις γνώσεις ὀνομάζειν. Ἕξις δέ ἐστιν ἐπίκτητον πρᾶγμα. ὡς ἐπὶ τῆς ῥητορικῆς, καὶ τῆς φιλοσοφίας. καὶ αὐτῶν γὰρ οὖσαν τὴν φιλοσοφίαν ἕξιν γνῶσιν θείων τε καὶ ἀνθρωπίνων πραγμάτων ἀπεφήναντο. Σαφηνήσωμεν δὲ καὶ τὰ λοιπὰ μέρη τοῦ ὅρου τῆς ἐπιστήμης. Γνῶσίς φησι τῶν ὑποκειμένων αὐτῇ πραγμάτων. Πᾶσα τέχνη καὶ πᾶσα ἐπιστήμη, ἔχει καὶ ὑποκείμενον, ἔχει καὶ τέλος. καὶ ὑποκείμενον μέν ἐστι περὶ ὃ καταγίνεται. περὶ ὃ ἐνεργεῖ. τέλος δέ ἐστιν, οὗ χάριν πάντα, αὐτὸ δὲ οὐδενός. Ἐπὶ τῆς τεχνικῆς δὲ γυμνάσωμεν τὸν λόγον, ἔχει ὑποκείμενον ἡ τεχνική

προσέθηκεν ὁ τεχνικός· οὐ γὰρ ἁπλῶς τῷ ἀντεγκλήματι ὁ φεύγων χρήσεται, ἀλλὰ μετὰ τῶν προειρημένων, τουτέστι τῶν ἰδίων τοῦ συλλογισμοῦ. ἀπὸ τοῦ ἐλάττονος, κατὰ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον· ἔλαττον εἴρηκε πρὸς τὸ ἄνω μεῖζον ὄν. διὸ καὶ ἐπήγαγε κατὰ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον. ἐρεῖ γὰρ ὅτι ὁ τὸ σῖτον παρασχών, καὶ τὸ ἐξ αὐτοῦ ἀποβαῖνον ἔδωκεν. ἔστι παρὰ τὰ προειρημένα καὶ ἕτερος τρόπος κατὰ σύνθεσιν. τὸ παράδειγμα τόδε· τὸν τρὶς ὑβρίσαντα καὶ τρεῖς μαρτυρήσαντα καὶ τρεῖς ἁλόντα κλοπῆς, ἄτιμον εἶναι. ἁλούς τις καθ' ἕκαστον ἔγκλημα ἀνὰ ἅπαξ, ὑπάγεται τῇ τιμωρίᾳ. ἐνταῦθα γὰρ ἡ σύνθεσίς ἐστιν ἡ ζητουμένη πότερον τὰ τρία ἑνός ἐστιν ἢ ἑκάστου. δόξει δέ τισι καὶ ἀμφιβολία εἶναι τοῦτο ἡ κατὰ σύνθεσιν, οὐκ ἔστι μέντοι. οὐ γὰρ διάστασις ἡ ἐπιπλοκὴ ποιεῖ τὴν ζήτησιν. ἐνταῦθα οὐδὲ ὄνομα ἀμφισβητούμενον. διὸ οὐκ ἀμφιβολία ἀλλὰ συλλογισμός ἐστιν. ἀνάγκη γὰρ συλλογίσασθαι ὅτι ταυτόν ἐστιν ἢ ἓν ἀδίκημα τρίτον ποιῆσαι, ἢ καθ' ἓν ἔγκλημα ἀνὰ ἅπαξ. ἐπιστατέον δέ, ὡς ἐν μὲν πάσῃ συλλογισμὸς ἐμπίπτει. ἐν συλλογισμῷ δὲ οὐδεμία ἄλλη πλὴν στοχασμοῦ· ἢ τις ἐν τῇ γνώμῃ τοῦ νομοθέτου ἐμπίπτει στοχαστικῶς ἐξεταζομένη.

## ΠΕΡΙ ΑΜΦΙΒΟΛΙΑΣ. ΣΩΠΑΤΡΟΥ.

Τινὲς ἀσύστατόν φασιν εἶναι τὴν ἀμφιβολίαν, τῷ μὴ ἔχειν τεκμήριον φανερόν, ὥσπερ τὸν στοχασμόν, ἄλλοι δὲ πρὸς τῷ συνεστάναι καὶ εἴδη, φασὶν αὐτὴν ἔχειν δ΄ κατὰ πνεῦμα καὶ τόνον καὶ ὁμωνυμίαν σύνθεσίν τε καὶ διαίρεσιν. ἡμεῖς δὲ συνεστάναι μὲν αὐτὴν φήσομεν· εἴδη δὲ οὐχ εὑροῦμεν ἔχειν· ἀλλὰ τρόπους αὐτὰ φήσομεν τῶν κατὰ ἀμφιβολίαν προβλημάτων. διατί δὲ ὠνόμασται οὕτω φανερόν. διὰ γὰρ τὸ μὴ ἔχειν τι ὡρισμένον πρὸς τὴν τοῦ ζητουμένου σύστασιν· μὴ δέ τι παρέχεσθαι μηδ' ἕτερον τῶν ἀγωνιζομένων σαφὲς ἀπὸ τοῦ ῥητοῦ διάνοιαν ἐξετάζοντος ἧς πολυσχιδής τε καὶ ἀόριστος ἡ ἐξέτασις. ὅρος δὲ αὐτῆς ἐστιν οὗτος. ἀμφιβολία ἐστὶ στάσις πολιτικοῦ πράγματος τῶν ἑκατέρων μερῶν καθ' ἣν τὴν διάνοιαν ἐξετάζομεν τοῦ ῥητοῦ. οἷον ὡς ἔδει τὸν ἀναθεῖναι τῇ πόλει καταλιπόντος ἡρακλέα χρυσοῦν ῥόπαλον ἔχοντα. τρόποι δὲ τῶν κατὰ ἀμφιβολίαν προβλημάτων οἵδε· κατὰ πνεῦμα· κατὰ τόνον· καθ' ὁμωνυμίαν· κατὰ σύνθεσιν· κατὰ διαίρεσιν. ἔστι δὲ κατὰ πνεῦμα μὲν ἀμφιβολία ὡς τόδε· κατέλιπέ τις φίλῳ τὴν οὐσίαν ἐφ' ᾧ τὸν πιστότατον τῶν οἰκετῶν ἕνδεκα ἔτεσι θρέψαι· καὶ ὁ μέν, δασύνων ἕνδεκα ἔτεσι ἀξιῶν θάψαι· ὁ δέ, ψιλῶς ἀναγινώσκων, ἕνδεκα ἔτη μόνα. κατὰ τόνον δέ· οἷον ἑτέρα χρυσία εἰ φοροίη δημόσια ἔστω· ἑάλω χρυσία φοροῦσα ἑταίρα· καὶ ὁ μέν, παροξυτόνως ἀναγινώσκων, δημοσίαν αὐτὴν εἶναι κελεύει· οἱ δέ, συνηγοροῦντες ἐκείνῃ, προπαροξυτόνως ἀναγινώσκοντες, τὰ χρυσία φασὶν εἶναι δεῖν δημόσια. καὶ αὖ τοῦτο· πωλῶν μηδεὶς διδότω τέλος. ἐνταῦθα γὰρ ὁ μέν, παροξύνων ἵππων ἐρεῖ μὴ διδόναι τέλος· ὁ δέ, προπερισπῶν τὸν πιπράσκοντα. κατὰ δὲ ὁμωνυμίαν, οἷον τοῦ θεοῦ χρήσαντος τεῖχος τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς, οἱ μέν, εἰς τὴν ἀκρόπολιν ἀξιοῦσι καταφεύγειν κοτίνοις τότε πυκνοῖς καταπεφραγμένην· Θεμιστοκλῆς δέ, πρὸς τὰς τριήρεις κελεύει κατασκευάζεσθαι. κατὰ δὲ σύνθεσιν καὶ διαίρεσιν· οἷον τελευτῶν τις κατέλιπέ τινι τὴν οὐσίαν ἐφ' ᾧ τε ἀναθεῖναι τῇ πόλει ἡρακλέα χρυσοῦν ῥόπαλον ἔχοντα. ὁ μὲν κατὰ διαίρεσιν ἀναγινώσκων, τὸ ῥόπαλον μόνον βούλεται χρυσοῦν ἀναθεῖναι· ὁ δὲ κατὰ σύνθεσιν, ὅλον τὸν ἡρακλέα χρυσοῦν ἀξιοῖ ἀναθεῖναι τῇ πόλει.

## ΜΑΡΚΕΛΛΙΝΟΥ.

Ζητεῖται εἰ ὅλως συνίσταται ἡ ἀμφιβολία. δοκεῖ γὰρ κατὰ τὸ ὁμολογούμενον προφέρεσθαι· ὡς γὰρ ἄν τις ὁριζόμενος ἀναγνοίη, πάντως που καθ' ἕνα τρόπον περιέρχεται. ἀλλὰ πρὸ τούτου φαμὲν ὅτι ἐν τοῖς τοιούτοις ἀνάγκη τὸν τόνον



ὑποκλέπτειν. δεῖ γὰρ ὑπονοεῖν γεγράφθαι νόμον στιγμῆς ἄμοιρον καὶ τόνου. ὅθεν τὰ τῆς ἀμφισβητήσεως συνίσταται. ἐξ αὐτοῦ δὲ τοῦ ὀνόματος, πρόδηλον τὰ τῆς δυνάμεως αὐτῆς· καὶ γὰρ αὐτὸ τὸ ῥητὸν ἀμφίβολον ἔχει· ὥστε τούτῳ τῶν ἄλλων νομικῶν διαφέρει. ὅτι ἐν

λείπει

## ΚΑΙ ΑΛΛΩΣ ΑΝΩΝΥΜΟΥ.

Ἡ ἀμφιβολία. τὴν ἀμφιβολίαν καὶ ἑρμογένης καθ' αὑτὴν οὖσαν γλίσχρον εἶναί φησι καὶ ὑπόψυχρον· τὸ γὰρ περὶ ὁμωνυμίας, ἢ τόνων, ἢ τινὸς τοιούτου ἀμφιβάλλειν εὐτελὲς ἄγαν. καί πως δοκεῖ ἀπὸ φιλοπραγμοσύνης τις περὶ τῶν τοιούτων συγκροτεῖν δικαστήριον· συμπλεκομένη μέντοι ἑτέρᾳ στάσει τὴν τῆς φιλοπραγμοσύνης ὑποψίαν ἐκφεύγει. ὡς καὶ ὁ δημοσθένης ἐν τῷ πρὸς λεπτίνην ἐποίησεν. εἰπόντος γὰρ λεπτίνου μηδένα εἶναι ἀτελῆ, καὶ μὴ διορίσαντος πρόσωπον ἢ πρᾶγμα ὁ δημοσθένης ἀσαφὲς εἶναι τοῦτό φησι, τὸ δὲ ἀσαφὲς ταυτὸν τῷ ἀμφιβόλῳ. καὶ ἔτι ἐν τῷ κατὰ ἀριστοκράτους, ἐάν τις ἀποκτείνῃ χαρίδημον, ἀγώγιμον εἶναι· πάλιν γὰρ ἐπιλαμβάνεται τῆς ἀσαφείας. καί φησι, ποῖον ἀνδροφόνον λέγεις, πότερον τὸν ἑκούσιον ἢ τὸν ἀκούσιον, τὸν δίκαιον, ἢ τὸν ἄδικον. διαφέρει δὲ ἡ ἀμφιβολία τῶν ἄλλων νομικῶν. ὅτι ἐν μὲν ἐκείναις φανερὸν ἔχομεν τὸ ῥητόν· περὶ δὲ τὴν διάνοιαν αὐτοῦ γίνεται ἡ ζήτησις· ἐνταῦθα δὲ αὐτὸ τὸ ῥητὸν ἔχομεν ἄδηλον. οὐδὲν γὰρ ἕτερόν ἐστιν ἡ ἀμφιβολία, ἢ ῥητοῦ ἀσάφεια. β΄. τοῦθ' ὅπερ εὑρίσκεται. οἶμαι πταῖσμα τῶν ἀντιγράφων εἶναι· χρῆναι γάρ, τοῦτο παρευρίσκεται, γράφεσθαι, ὡς μὴ καθ' αὑτὸ ζήτημα ὄν, ἀλλ' ἐν ἑτέρῳ παρευρισκόμενον. γ΄. τὸ περιέχον. πῶς ἴδιον ἀντινομίας τοῦτο εἰπὼν καὶ ἐπὶ τῆς ἀμφιβολίας τοῦτο παρέλαβε; φαμὲν οὖν ὅτι πρὸς τὸ ῥητὸν καὶ τὴν διάνοιαν εἶπεν αὐτὸ ἐκεῖ ἴδιον εἶναι. ὥσπερ δὲ ἐν τῷ ὅρῳ ὁ φεύγων τὸ ἔλαττον ὁμολογεῖ ἀδίκημα, οὕτω καὶ ἐνταῦθα ἐπὶ τῆς γνώμης τοῦ νομοθέτου ἡ ἑταίρα ὁμολογεῖ ἠδικηκέναι μέν, ἔλαττον δέ. δ΄. ἥπερ ἕπεται. πρὸ τὴν μετάληψιν, καὶ ἀντίληψιν ἔδει ἀπαντῆσαι, ὡς πολλαχοῦ· ἀλλ' ἐνταῦθα παράβασις γέγονεν, ὥστε οὐκ ἠδύνατο, ὥσπερ ἐπ' ἐξουσίας προβάλλεσθαι τὴν ἀντίληψιν. ε΄. ἡ ἐλεεινολογήσεται φησὶν ὅτι ἐπειδὴ οὐκ ἰσχυρὰ τὰ τῶν ἀποδείξεων, τοῖς ἐπιλογικοῖς ἀνάγκη πλεονάζειν· τὸ δὲ ὁ λέγων ὑπὲρ αὐτῆς προσέθηκεν, ἐπειδὴ γυνὴ εἰς δικαστήριον οὐκ εἰσέρχεται. οὐδὲ παρρησίαν ἔχει δημηγορεῖν· ἄλλως τε κἂν ἑταίρα τυγχάνῃ οὖσα, διὸ οὐκ αὐτὴν ἐλεεινολογουμένην, ἀλλὰ τὸν ὑπὲρ αὐτῆς φησι λέγοντα. μετὰ δὲ τὴν ἀντίληψίν ἐστιν ἡ θέσις. παρεῖκε δὲ αὐτὴν ὁ τεχνικὸς ἐν τῇ ἐξετάσει ὡς πρόδηλον. ὁ μὲν γὰρ ἐρεῖ, ὅτι τιμωρητέον τὰς ἑταίρας. ὁ δὲ ὅτι ἐλεητέον τὰς διὰ πενίαν ταῦτα ἀναγκαζομένας ποιεῖν.

ΤΕΛΟΣ ΤΩΝ ΣΤΑΣΕΩΝ.

σμὸς περὶ τὴν ἔννοιαν. τὸ γὰρ σχῆμα τῆς λέξεώς ἐστιν. πᾶν μέρος λόγου. τουτέστιν ὅτι αἱ λέξεις εὕρηνται μὲν παρὰ τοῖς φιλοσόφοις ἐπὶ μηνύσει πράγματός τινος. οἷον ὁ κύων τὸ ζῶον ὠνομάσθη κύων διὰ τὸ φιλοδέσποτον. καιροῦ δὲ ἰδίου τυχὸν τὸ ὄνομα μετετέθη καὶ ἐπὶ τὸν ἀστρῶον κύνα. καὶ ἐπὶ τὸν θαλάττιον διὰ τὸ βλαπτικὸν ἑκατέρων ἄλλων. πᾶσα λέξις εὕρηται διὰ δήλωσίν τινος πράγματος. δηλοῖ δέ τι τηνικαῦτα ὅτε οἰκείως καὶ κατὰ καιρὸν προσήκοντα τεθῇ. αὐτὸ δὲ τὸ κακοῦργος ὅταν ἐπί τινος ὀνομασθῇ κακίας διαφόρους ἐργαζομένου. ἐκεῖνον δηλοῖ δή που τὸν εἰργασμένον. ἂν μέντοι ὁ καιρὸς ἄλλος ᾖ, καὶ τὸ πρόσωπον κλοπὰς εἰργάσατο μόνας, οὐχ ἑτέραν κακίαν, οὐ τὸν προειρημένον δηλοῖ. ἀλλ᾽ ἐν προσθήκῃ ἤθους ἐκεῖνον αὐτὸν τὸν κεκλοφότα. χρηστὸν ἴσμεν τὸν ἀγαθόν. δυνάμεθα δὲ κατὰ καιρὸν εὐθέτως καὶ τὸν πονηρὸν ἐν ἤθει τῷ τῆς εἰρωνείας χρηστὸν ὀνομάσαι.

Πάσης λέξεως τῆς ἀγνοουμένης ἐν πεζῷ λόγῳ τρεῖς μέθοδοι τῆς εὑρέσεως. καὶ τὰ λοιπά. Εἰσαγγελία ἐστὶν ἡ εἰσαγωγὴ τῆς δίκης. ὡς ἐὰν εἴπω κατηγορῶ Νικίου προδοσίας. φάσις δὲ ἡ ψιλὴ προσαγγελία. τὸ δὲ δὶς διὰ τεσσάρων, τὸ ἑπτάχορδόν ἐστι. μοσχεύειν δὲ λέγουσιν οἱ γεωργοὶ τὸ ἐντιθέναι ἀνεστραμμένως τὰ κλήματα ἐν ὀρύγματι γῆς ἐπὶ τῷ ἐκφῦσαι ῥίζας, εἶθ᾽ οὕτως ἐμφυτευθῆναι.

Τὰ ἁμαρτήματα κατὰ τὴν λέξιν κατὰ δύο τρόπους γίνεται, καὶ τὰ λοιπά.

Τὸ μὲν γὰρ παρακαλεῖν. τὸ γὰρ ἄγειν καὶ ἕλκειν ἐφ᾽ ἑαυτῷ, ἐπίτασις τοῦ καλεῖν ἐστι. β᾽. διαζώστραν. τοιοῦτόν ἐστι καὶ τὸ, ἐὰν τὴν τάφρον τάφον εἴπῃς. ἢ τὸν καχρυδίαν ἄρτον κεγχρυδίαν. ἀμωδεῖν δέ ἐστι τὸ, τοὺς ὀδόντας ναρκᾶν.

Πότε τῷ τοιούτῳ τινὶ ὀνομάτων χρησόμεθα, καὶ τὰ λοιπά. Ὡς δ᾽ ὅταν ὀδύνουσαν. τοιοῦτόν καὶ ἐστὶ τὸ τοῦ θεολόγου. ὁ τοῦ παιδὸς ὅρος καὶ λόγος. ἡ μὴ κινουμένη σφραγὶς τὸ ἐκμαγεῖον τοῦ ἀρχετύπου. ταῦτα γὰρ πάντα ὁμότιμον τῆς ἐναργείας ἔχει τοῦ υἱοῦ. β᾽. καὶ ὁ Θουκυδίδης. σύγκρισιν ποιεῖται ὅτι ὁ Πελοποννησιακὸς πόλεμος μείζων ἐγένετο τοῦ Τρωϊκοῦ. οὗ χάριν καὶ τεκμήριά τινα καὶ σημεῖα καὶ παραδείγματα λαμβάνει.

Η περιττότης ἐστὶ διπλῆ, καὶ τὰ λοιπά. Κατὰ γνώμην. γνώμην τὸ νόημα καὶ ἐνθύμημα καλεῖ. β᾽. τὸ παρὰ τοῦ Στεφάνου. οἷον πρῶτον μὲν ὦ Ἀθηναῖοι τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν καὶ ὑπὲρ ὑμῶν. γ᾽. εἰς κίνησιν ἤθους. κίνησιν ἤθους νῦν τὸν ζῆλον τῶν δικαστῶν νοεῖ. διὰ τοῦτο γὰρ συνεφόρησε τὰ ὀνόματα. ἵνα ζηλώσωσιν ὑπὲρ αὐτοῦ τοιαῦτα πεπονθότος. περὶ δὲ ἐνθυμημάτων καὶ ἐπενθυμημάτων ἐν τοῖς περὶ εὑρέσεως εἴρηται. δ᾽. ἐν τῷ Θουκυδίδου. ὁ ἐπιτάφιος οὕτως ἔχει. οἱ μὲν πολλοὶ τῶν ἐνθάδε ἤδη εἰρηκότων ἐπαινοῦσι τὸν προσθέντα τῷ νόμῳ τὸν λόγον τόνδε ὡς καλὸν ἐπὶ τοῖς ἐκ τῶν πολέμων θαπτομένοις ἀγορεύεσθαι αὐτόν. ἐμοὶ δ᾽ ἀρκοῦν ἂν ἐδόκει ἀνδρῶν ἀγαθῶν ἔργῳ γενομένων, ἔργῳ καὶ δηλοῦσθαι τὰς τιμάς. οἷα καὶ νῦν περὶ τὸν τάφον τόνδε δημοσίᾳ παρασκευασθέντα ὁρᾶτε, καὶ μὴ ἐν ἑνὶ ἀνδρὶ πολλῶν ἀρετὰς κινδυνεύεσθαι εὖ τε καὶ χεῖρον εἰπόντι πιστευθῆναι. εἶτα ἐπιφέρει τὰ ἐπενθυμήματα κατασκευάζων. χαλεπὸν γὰρ τὸ μετρίως εἰπεῖν, καὶ τὰ ἑξῆς. εἶτα ἐπιφέρει. ἐπειδὴ δὲ τοῖς πάλαι οὕτως ἐδοκιμάσθη ταῦτα καλῶς ἔχειν. χρὴ καὶ ἐμὲ ἑπόμενον τῷ νόμῳ, καὶ τὰ ἑξῆς.

Τῶν δὲ αὐθαδῶν καὶ τολμηρῶν διανοημάτων θεραπεῖαι καὶ παραμυθίαι δύο. καὶ τὰ λοιπά. Ο μὲν οὖν παρών. αὐθαδὲς μὲν τὸ λέγειν τὸν καιρὸν φωνὴν ἀφιέναι. παραμυθεῖται δὲ διὰ τῆς τοῦ μονονουχὶ μικρᾶς προσθήκης. ἁλμυρὰν δὲ ἀκοήν φησιν ὁ Πλάτων οὓς ἔλεγον εἰς τὸ θεῖον ἀπρεπεῖς λόγους. ς᾽. κατὰ Τιμο-



κράτους. ὁ Τιμοκράτης ἔγραψε νόμον ὅπως μὴ διδῶσιν ἐγγυητὰς οἱ χρεωφειλέται. ὃν κακίζει ὁ Δημοσθένης.

Πότε παράλειψις καὶ ἀποσιώπησις γίνεται; καὶ τὰ λοιπά. Πῶς ἐρωτώμενός φησιν ἐγὼ πῶς οὗτος κέχρηται τῷ πατρὶ, ἀποκρινόμενος λέγω. ἢ ὅτι ἀντεῖπεν αὐτῷ, ἢ ὅτι οὐκ ἐπείσθη αὐτῷ. καὶ κατὰ ἀποσιώπησιν δείκνυμι τὸ ἐπιβεβούλευκεν. ὥσπερ ὁ Δημοσθένης ἐποίησε. θέλων γὰρ ὀνειδίσαι τῷ Αἰσχίνῃ πενίαν ἐσχημάτισε τὸν λόγον οὕτως. ἐγὼ γὰρ οὔτ᾽ εἴ τις πενίαν ὀνειδίζει νοῦν ἔχειν ἡγοῦμαι, οὔτ᾽ εἴ τις ἐν ἀφθόνοις τραφεὶς ἐπὶ τούτῳ σεμνύνεται. ς᾽. τῇ τελείᾳ. οὐ γὰρ ἦν τελεία ἐν τῷ προτεθέντι παραδείγματι. γ᾽. τοῦ προσποιεῖσθαι παραλιπεῖν. οὐ γὰρ παραλείπει. ἀλλὰ λέγων παραλείπειν ὑποκρίσει μόνῃ τοῦτο ποιεῖ. φησὶ δὲ καὶ οὐ παραλιμπάνει. πῶς γὰρ ὁ διαρρήδην ταῦτα κατηγορῶν.

Τὸ περιπλέκειν διαβάλλεται μὲν ὡς κακία τοῦ λέγειν. καὶ τὰ λοιπά.

Περιπλοκή ἐστι τὸ διὰ μακρηγορίας ἐκτείνειν τὸν λόγον καὶ συγκαλύπτειν καὶ συσκιάζειν καὶ ἀσαφῶς λέγειν. ς᾽. μετὰ συλλήψεως. σύλληψιν λέγει τὴν πρόσληψιν τοῦ ἀορίστου. τὸ οὐκ οἶδ᾽ ὅντινά μοι δοκοῦμεν.

Ἐπὶ κεφαλαίων. ἀντὶ τοῦ κεφαλαιωδῶς. καὶ τὸ μὲν κατασκευάζειν ἐπὶ τῶν ἀγώνων νοεῖται. τὸ δὲ διδάσκειν ἐπὶ τῶν διηγήσεων. ἢ τὸ μὲν κατασκευάζειν ἐπὶ τοῦ δικανικοῦ, καὶ τοῦ στασιαζομένου συμβουλευτικοῦ. τὸ δὲ διδάσκειν ἐπὶ τοῦ ἀστασιάστου συμβουλευτικοῦ καὶ τοῦ πανηγυρικοῦ.

Ἐπιδεικτικά. τὰ ἐπιτετηδευμένα. ἃ καὶ εἰς ἡδονὴν ἀκοῆς σώφρονά ἐστιν. ὥσπερ τοὐναντίον τὰ σοφιστικὰ εἰς αἰσχρὰν ἡδονὴν ἀκοῆς γίνεται. β᾽. ὅταν τῇ φύσει. τοιοῦτόν ἐστι καὶ τὸ τοῦ θεολόγου. μετὰ ἀγγέλων ὕμνησον. μετὰ ποιμένων δόξασον. μετὰ ἀρχαγγέλων χόρευσον. γ᾽. πολλάκις δὲ ἐκ παρέργου φησὶν ἀναγινωσκόμενα τὰ πάρεργα ταῦτα λανθάνουσι. πολλάκις δὲ καὶ ἐπιμελῶς ἐκμελετώμενα διαγινώσκεται καὶ εὑρίσκεται.

Ἀπλούστατον. ἀντὶ τοῦ ἀφελές. β᾽. ἐδίδασκες. καὶ ὁ θεολόγος. σὺ τὴν Ἀχαΐαν. ἐγὼ τὴν Ἰωνίαν.

α᾽. Σχολικαῖς. ταῖς μελετωμέναις. τὸ δὲ διὰ μακρῶν, ἀντὶ τοῦ πολλῶν καὶ ἰσχυρῶν λόγων. καὶ οἷον ἀναντιρρήτων.

ΤΕΛΟΣ.

12 a b c d e f g h i k l m n o p q r ſ t u x y z & A B.
Omnes quaterniones, præter ſecundum ternionem & ultimum quinternionem.

Venetiis, In ædibus Aldi. M. D. IX. Menſe Maio.

